www.tezaurliturgic.ro

+

# ΕΥΧΑΡΙΣΤΗΡΙΟΣ ΑΚΟΛΟΥΘΙΑ
# ΕΠΙ Τῌ ΕΚΑΤΟΝΤΑΕΤΗΡΙΔΙ ΤΩΝ ΕΛΕΥΘΕΡΙΩΝ
# ΤΟΥ ΑΓΙΟΥ ΟΡΟΥΣ ΑΘΩ
# ΕΚ ΤΗΣ ΤΟΥΡΚΙΚΗΣ ΔΟΥΛΕΙΑΣ




Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος
ὑπὸ
Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου,
Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας,
φιλαγίῳ προνοίᾳ τε καὶ αἰτήσει
τῆς Ἱερᾶς & Σεβαστῆς Κοινότητος τοῦ Ἁγιωνύμου Ὄρους Ἄθω.

* Ἅγιον Ὄρος Ἄθως * ͵βιβ´ * 2012 *




**ΕΥΧΑΡΙΣΤΗΡΙΟΣ ΑΚΟΛΟΥΘΙΑ ΕΠΙ Τῌ ΣΥΜΠΛΗΡΩΣΕΙ ΕΚΑΤΟΝΤΑΕΤΙΑΣ ΑΠΕΛΕΥΘΕΡΩΣΕΩΣ ΤΟΥ ΑΓΙΩΝΥΜΟΥ ΟΡΟΥΣ ΑΘΩ ΕΚ ΤΗΣ ΤΟΥΡΚΙΚΗΣ ΔΟΥΛΕΙΑΣ**

* * *

**ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ**

Ἱστῶμεν στίχ. Ϛ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος!

Ὢ τῆς μητρικῆς ἀγάπης σου
δι' ἧς σκέπεις ἀεί, Ὄρος τὸ τοῦ Ἄθωνος,
Παρθένε κλῆρον τὸν σόν
ὃν ἐκ Χριστοῦ φιλοστόργως ἐζήτησας,
καὶ πλήθεσι μοναστῶν, καταφυτεύεις ὡς θεῖον περίβολον·
ὅθεν τὰς εὐχαριστίας, δέξαι τὰς εὐγνώμονας,
ἐξ ἡμῶν ὅτι τοῦτο, ἐκ δουλείας ἠλευθέρωσας.

Ὅτε Βασιλὶς τῶν πόλεων,
ἐδουλώθη δεινῶς, καὶ ἡ ἡμισέληνος,
ἐκράτησε τοῦ σταυροῦ, τότε καὶ Ὄρος τοῦ Ἄθω ὑπέκυψεν,
τῇ Ἄγαρ τῇ σκοτεινῇ, τὸ φῶς Χριστοῦ μόνον ἔχον ὡς ἄγκυραν,
καὶ ἐλευθερίας, τῆς γλυκείας ὅραμα,
μετὰ πάροδον χρόνων, θεϊκῇ προνοίᾳ εὕρατο.

Δέσποτα Χριστὲ φιλάνθρωπε,
ὁ καλέσας ἡμᾶς, διὰ τοῦ βαπτίσματος,
γενέσθαι υἱοὺς φωτός, καὶ μοναστὰς ἀναδείξας τοῦ Ὄρους σου,
συντήρησον ἐς ἀεί, ἀπαρατρώτους βελῶν πολεμήτορος,
συντρίβων ψυχῶν δεσμά,

ὥσπερ τοῦ ᾅδου ἀλύσεις διέῤῥηξας,
ὅπως ἐν εὐχαριστίᾳ, πάντοτε δοξάζωμεν,
σὴν ἀήττητον δόξαν, ἐν εἰρήνῃ πορευόμενοι.

ἕτερα. Τῶν οὐρανίων ταγμάτων.

Ὁ ἐν χερσί σου τὸν κόσμον, διακρατῶν ὡς Θεός,
καὶ τὰ δεσμὰ δουλείας, διαβόλου συντρίψας,
Αὐτὸς καὶ Ὄρος Ἄθω δείξας Σωτήρ, τέκνων Ἄγαρ
ἐλεύθερον,
δέξαι τὸν αἶνον εὐγνώμονα ἐξ ἡμῶν,
ὡς θυμίαμα πανεύοσμον.

Τὸν στεναγμὸν τῶν πενήτων, ἤκουσας Κύριε,
καὶ μετὰ χρόνους πλείστους, ἀπεδίωξας Ἄθω,
ἐχθροὺς τοὺς τοῦ σταυροῦ σου τοὺς δυσσεβεῖς,
καὶ ἐλεύθερον ἔδειξας,
τοῦτον τὸν χῶρον Μητρός σου τῆς ἀγαθῆς,
τὸν ἐξαίρετον περίβολον.

Ὁ πρὸς συμφέρον παιδεύων, ψυχῶν τοὺς δούλους σου,
ἐπαίδευσας δουλείᾳ, καὶ τὸ Ὄρος τοῦ Ἄθω,
καὶ ὅτε μετ᾽ αἰῶνας πάλιν αὐτό,
ἀπελεύθερον ἔδειξας,
ἐπ᾽ ἁγιότητι Σῶτερ τῶν μοναστῶν,
τῶν ἐνταῦθα διαφύλαξον.

Δόξα. Καὶ νῦν. Ἦχος πλ.α΄.

Τὸ Ὄρος τοῦτο τὸ ἅγιον τοῦ Ἄθω, τὸ πῖον καὶ τετυρωμένον, τὸ Ὄρος ὃ ηὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ, σήμερον τὰ ἐλευθέρια ἑορτάζον γηθοσύνως, τῇ Παναγίᾳ Θεοτόκῳ ἀναπέμπει τὰ εὐχαριστήρια, ὡς μητρικῶς ἐπιμελουμένῃ τῆς κληρουχίας ταύτης, καὶ φιλοστόργως σκεπούσῃ τοὺς ἐνταῦθα ἀσκουμένους. Ὅθεν τεκνικῶς ὡς ὑπερμάχῳ στρατηγῷ καὶ ἀνυστάκτῳ προστάτιδι, συμφώνως ἀναβοῶμεν Αὐτῇ · Τήρησον Πανάχραντε Δέσποινα τὸ Περιβόλιόν σου, ἐλεύθερον καὶ ἀκαταδούλωτον, ὅπως ἕως

αἰῶνα αἰῶνος ὑπάρχῃ τῆς ὁσιότητος θεῖον ἐργαστήριον, καὶ δοξολογίας τοῦ ἐν Τριάδι Θεοῦ.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.

Τὰ Ἀναγνώσματα

Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα (6,2-8)

Ἐλάλησεν ὁ Θεὸς πρὸς Μωυσῆν καὶ εἶπεν πρὸς αὐτόν. Ἐγὼ Κύριος·καὶ ὤφθην πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, Θεὸς ὢν αὐτῶν, καὶ τὸ ὄνομά μου Κύριος οὐκ ἐδήλωσα αὐτοῖς· καὶ ἔστησα τὴν διαθήκην μου πρὸς αὐτοὺς ὥστε δοῦναι αὐτοῖς τὴν γῆν τῶν Χαναναίων, τὴν γῆν, ἣν παρῳκήκασιν, ἐν ᾗ καὶ παρῴκησαν ἐπ᾿ αὐτῆς. Καὶ ἐγὼ εἰσήκουσα τὸν στεναγμὸν τῶν υἱῶν Ἰσραήλ, ὃν οἱ Αἰγύπτιοι καταδουλοῦνται αὐτούς, καὶ ἐμνήσθην τῆς διαθήκης ὑμῶν. Βάδιζε εἰπὸν τοῖς υἱοῖς Ἰσραὴλ λέγων· Ἐγὼ Κύριος καὶ ἐξάξω ὑμᾶς ἀπὸ τῆς δυναστείας τῶν Αἰγυπτίων καὶ ῥύσομαι ὑμᾶς ἐκ τῆς δουλείας καὶ λυτρώσομαι ὑμᾶς ἐν βραχίονι ὑψηλῷ καὶ κρίσει μεγάλῃ καὶ λήμψομαι ἐμαυτῷ ὑμᾶς λαὸν ἐμοὶ καὶ ἔσομαι ὑμῶν Θεός. Καὶ γνώσεσθε ὅτι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ τῆς καταδυναστείας τῶν Αἰγυπτίων, καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν, εἰς ἣν ἐξέτεινα τὴν χεῖρά μου δοῦναι αὐτὴν τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, καὶ δώσω ὑμῖν αὐτὴν ἐν κλήρῳ. Ἐγὼ Κύριος.

Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα (13,3-12)

Εἶπεν Μωυσῆς πρὸς τὸν λαόν· Μνημονεύετε τὴν ἡμέραν ταύτην, ἐν ᾗ ἐξήλθατε ἐκ γῆς Αἰγύπτου ἐξ οἴκου δουλείας· ἐν γὰρ χειρὶ κραταιᾷ ἐξήγαγεν ὑμᾶς Κύριος ἐντεῦθεν·καὶ οὐ βρωθήσεται ζύμη. Ἐν γὰρ τῇ σήμερον ὑμεῖς ἐκπορεύεσθε ἐν μηνὶ τῶν νέων. Καὶ ἔσται ἡνίκα ἐὰν εἰσαγάγῃ σε Κύριος ὁ Θεός σου εἰς τὴν γῆν τῶν Χαναναίων καὶ Χετταίων καὶ Εὐαίων καὶ Γεργεσαίων καὶ Ἀμορραίων καὶ Φερεζαίων καὶ Ἰεβουσαίων, ἣν ὤμοσεν τοῖς πατράσί σου δοῦναί σοι, γῆν ῥέουσαν γάλα καὶ μέλι, καὶ ποιήσεις τὴν λατρείαν ταύτην ἐν τῷ μηνὶ τούτῳ. Ἓξ

ἡμέρας ἔδεσθε ἄζυμα, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ ἑορτὴ Κυρίου· ἄζυμα ἔδεσθε τὰς ἑπτὰ ἡμέρας, οὐκ ὀφθήσεταί σοι ζυμωτόν, οὐδὲ ἔσται σοι ζύμη ἐν πᾶσιν τοῖς ὁρίοις σου. Καὶ ἀναγγελεῖς τῷ υἱῷ σου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων Διὰ τοῦτο ἐποίησεν Κύριος ὁ Θεός μοι, ὡς ἐξεπορευόμην ἐξ Αἰγύπτου. Καὶ ἔσται σοι σημεῖον ἐπὶ τῆς χειρός σου καὶ μνημόσυνον πρὸ ὀφθαλμῶν σου, ὅπως ἂν γένηται ὁ νόμος Κυρίου ἐν τῷ στόματί σου. Ἐν γὰρ χειρὶ κραταιᾷ ἐξήγαγέν σε Κύριος ὁ Θεὸς ἐξ Αἰγύπτου. Καὶ φυλάξεσθε τὸν νόμον τοῦτον κατὰ καιροὺς ὡρῶν ἀφ᾿ ἡμερῶν εἰς ἡμέρας. Καὶ ἔσται ὡς ἂν εἰσαγάγῃ σε Κύριος ὁ Θεός σου εἰς τὴν γῆν τῶν Χαναναίων, ὃν τρόπον ὤμοσεν τοῖς πατράσι σου, καὶ δώσει σοι αὐτήν.

Προφητείας Ἰερεμίου τὸ ἀνάγνωσμα (38,10-15)

Τάδε λέγει Κύριος· Ἀκούσατε λόγον Κυρίου, ἔθνη, καὶ ἀναγγείλατε εἰς νήσους τὰς μακρότερον·καὶ εἴπατε. Ὁ λικμήσας τὸν Ἰσραὴλ συνάξει αὐτὸν καὶ φυλάξει αὐτὸν ὡς ὁ βόσκων τὸ ποίμνιον αὐτοῦ. Ὅτι ἐλυτρώσατο Κύριος τὸν Ἰακώβ, ἐξείλατο αὐτὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ. Καὶ ἥξουσιν καὶ εὐφρανθήσονται ἐν τῷ ὄρει Σιὼν καὶ ἥξουσιν ἐπ᾿ ἀγαθὰ Κυρίου, ἐπὶ γῆν σίτου καὶ οἴνου καὶ καρπῶν καὶ κτηνῶν καὶ προβάτων, καὶ ἔσται ἡ ψυχὴ αὐτῶν ὥσπερ ξύλον ἔγκαρπον, καὶ οὐ πεινάσουσιν ἔτι. Τότε χαρήσονται παρθένοι ἐν συναγωγῇ νεανίσκων, καὶ πρεσβῦται χαρήσονται, καὶ στρέψω τὸ πένθος αὐτῶν εἰς χαρμονὴν καὶ ποιήσω αὐτοὺς εὐφραινομένους. Μεγαλυνῶ καὶ μεθύσω τὴν ψυχὴν τῶν ἱερέων υἱῶν Λευΐ, καὶ ὁ λαός μου τῶν ἀγαθῶν μου ἐμπλησθήσεται.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν στιχηρὰ ἰδιόμελα

Ἦχος α΄

Εὐφραίνου ἐν Κυρίῳ ὁ περίδοξος Ἄθως, ὁ ἐκ τῶν ἡγιασμένων κλιτύων σου ἀποσείσας τὸν τῆς σκοτώδους

Ἄγαρ πολυχρόνιον ζυγόν, καὶ ἀπελεύθερος γενόμενος, τῇ αὔρᾳ τῶν εὐχῶν τῆς Παναχράντου Θεομήτορος, ὅπως τὸν ἁγιαστικὸν τῆς ἀσκήσεως πλοῦν εἰρηνικῶς πορεύῃ. Τὰ δὲ εὐχαριστήρια τῷ Λυτρωτῇ Χριστῷ ἀποδιδούς, ἐκτενῶς ἱκέτευε· τήρησον Φιλάνθρωπε τὴν ᾧδε κληρονομίαν σου, εἰς αἰῶνας ἀκατάσειστον, καὶ σὲ πανευγνωμόνως δοξάζουσαν.

Ἦχος β΄

Μέγα σου τὸ ἔλεος καὶ ἡ φιλανθρωπία σου Δέσποτα, ἅπερ ἐπιδείκνυς ἀείποτε πρὸς τὴν ἐν τῷ Ἄθῳ κληρουχίαν σου. Ὅθεν πατρικῶς κηδόμενος, ἀπέσεισας τὸν πολυχρόνιον δεσμὸν τῆς αἰχμαλωσίας, καὶ αὖθις ἀπέδειξας τοῦτον ἐλεύθερον, ὃν διαφύλαττε ἀκαταδούλωτον, ἄχρι τερμάτων αἰῶνος, Ὀρθοδοξίας προπύργιον, καὶ μοναστῶν ἁγιαστήριον, ταῖς ἱκεσίαις τῆς Ἁγνῆς Θεομήτορος.

Ἦχος γ΄

Παιδευτικῶς ἐπεκάθησεν τοῦ Ὄρους τοῦ Ἄθωνος, τὸ ζοφερὸν νέφος τῆς τῶν ἀγαρηνῶν αἰχμαλωσίας, ἀλλ' οὐκ ἠδυνήθη ἀμαυρῶσαι, τὸν Ἥλιον τῆς δικαιοσύνης. Ὅτε δὲ τὸ πλήρωμα τοῦ χρόνου ἦλθεν, τὸ φῶς τῆς περιποθήτου ἐλευθερίας ἐπεκράτησεν, τῆς Θεοτόκου Δεσποίνης ταῖς ἀκοιμήτοις πρεσβείαις, ἣν εὐγνωμόνως εὐχαριστοῦντες δεόμεθα· ἐκ πειρασμῶν πολυτρόπων περιφύλαττε, τὸν τόπον τοῦτον ἀπρόσβλητον, ὃν σοι ὡς κῆπον Πάναγνε, ἐχαρίσατο ὁ Πανάγαθος Κύριος.

Ἦχος δ΄

Ἐν χαρμοσύνοις ᾄσμασι δοξολογήσωμεν ἀδελφοί, τὴν ὑπερμάχως καὶ φιλοτέκνως στρατηγοῦσαν, τοῦ Ἱεροῦ ἡμῶν Τόπον Δέσποιναν Θεομήτορα. Ὅτι ὡς ἀείποτε ἀπέδειξεν τὴν εὐεργετικὴν προστασίαν Αὐτῆς, οὕτω καὶ πάλιν τὴν σκοτόμορφον δουλείαν τῶν τέκνων τῆς Ἄγαρ, τοῦ Ἄθωνος ὡς χοῦν ἐξηφάνισε, καὶ ἀπελεύθερον τὸ τῆς εὐδοκίαν

Ὄρος κατέστησεν. Ἡμεῖς δὲ οἱ τούτου ταπεινοὶ οἰκισταί, τοὺς παντοιοτρόπως συνεργήσαντας ἀοιδίμους μακαρίσωμεν, πίστεως καὶ βίου ὀρθοδόξως ἐπιμελούμενοι, ὡς δέον ἐστὶ τῷ ἁγίῳ Σχήματι.

Δόξα. Καὶ νῦν. Ἦχος πλ.α΄.

Ὁ τὰ ἡνία τοῦ σύμπαντος διακρατῶν, καὶ τῶν ἐθνῶν τὴν πορείαν φιλανθρώπως κατευθύνων, Χριστέ ὁ Θεός, Αὐτὸς παιδαγωγικῶς παραδοὺς τὸ Ὄρος σου τοῦτο εἰς δουλείαν, πάλιν ηὐδόκησας μετὰ χρόνους, καὶ τῆς τῶν ἀθέων ἀγαρηνῶν αἰχμαλωσίας ἠλευθέρωσας, ταῖς ἱκεσίαις ἐκδυσωπηθεὶς τῆς Παναχράντου σου Μητρός. Ὅθεν ἡμεῖς τὴν σήμερον πανευγνωμόνως τὴν χάριν σου μνημονεύοντες, σὲ δοξολογοῦμεν παννυχίως, ὡς τὸν μόνον ἐλευθερωτὴν τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν προσκυνούμενον.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος πλ.α΄. Χαίροις ἀσκητικῶν.

Χαίρει τὸ ὄρος Ἄθω φαιδρῶς,
ἡ κληρουχία τῆς ἁγνῆς Θεομήτορος,
ζυγὸν τῆς δουλείας θραῦσαν,
ἀγαρηνῶν ἀσεβῶν,
μετὰ χρόνους πλείστους ὡς ἠθέλησεν,
Χριστὸς ὁ φιλάνθρωπος,
ὁ ῥυθμίζων τὰ σύμπαντα,
καὶ καταργήσας,
διαβόλου βασίλειον,
ὡς ἐπλήρωσεν,
σωτηρίας τὸ σχέδιον.
Ὅθεν παγγλώττως σήμερον,
μονάζοντες ἅπαντες,
ἀπὸ βαθέων καρδίας,
εὐχαριστοῦντες δοξάζομεν,
Αὐτοῦ τὴν ἀγάπην,
καὶ Κυρίας Θεοτόκου

σκέπην φιλότεκνον.

Στίχ. Ὄρος τοῦτο ὃ ηὐδόκησε κατοικεῖν ἐν αὐτῷ ὁ Θεός.

Αἷμα τῶν μοναστῶν ἐκχυθέν,
ὑπὲρ Χριστοῦ ἐν Ὄρει τούτῳ τοῦ Ἄθωνος,
ὡς Ἄβελ βοαῖς ἀφθόγγοις,
τὴν εὐσπλαγχνίαν Θεοῦ,
δωσωποῦν ἐζήτει τὴν ἐκδίκησιν·
διὸ ὁ Φιλάνθρωπος,
ἀναιμάκτως ἠξίωσεν,
ἐλευθερίας,
τῆς Παρθένου περίβολον,
ἔνθα στάδιον, ἀρετῶν διατρέχοντες,
ὕμνοις Αὐτὸν γεραίρομεν,
καὶ πόθῳ αἰτούμεθα,
πανελευθέρους τηρῆσαι,
ἐκ τῶν δεσμῶν τοῦ ἀλάστορος,
καὶ τῆς Βασιλείας,
οὐρανῶν καταξιώσῃ,
ὡς Πολυέλεος.

Στίχ.Οἱ πεποιθότες ἐπὶ Κύριον ὡς ὄρος Σιών.

Ὅτε ἐν Βαβυλῶνι ποτέ,
οἱ Ἰουδαῖοι ὡς αἰχμάλωτοι ἤχθησαν,
ἐθρήνουν ᾠδαῖς πενθίμοις,
τῇ ἀναμνήσει Σιών,
καὶ ἐλευθερίαν πόθῳ ηὔχοντο.
Ἡμεῖς δέ, Φιλάνθρωπε,
οἱ τοῦ Ἄθωνος τρόφιμοι,
μεγαλοφώνως,
ἐν τοῖς λάρυγξι φέρομεν,
τὰς αἰνέσεις σου,
καὶ φαιδρῶς ἑορτάζοντες,
σήμερον ἐλευθέρια,
πιστῶς ἐξαιτούμεθα,
ταῖς Παναχράντου πρεσβείαις,

www.tezaurliturgic.ro

καὶ τῶν Ὁσίων τοῦ Ἄθωνος,
ἀχλὺν δυσσεβείας,
τῆς σκαιᾶς ἡμισελήνου,
ὅλως ἀφάνισον.

Δόξα. Καὶ νῦν. Ἦχος πλ.β΄.

Τῆς ἀληθείας τοῦ Εὐαγγελίου τῶν ἀσεβῶν ἐχθρῶν ἐνισχυσάντων, καὶ τοῦ χριστωνύμου λαοῦ σου κυριευσάντων, Φιλάνθρωπε Κύριε, καὶ τὸ Ὄρος τοῦτο τῆς κληρονομίας σου, αἰχμαλωσίᾳ πολυχρονίῳ παιδευτικῶς παραδέδοται. Ὅτε δὲ πεπλήρωται τὸ ποτήριον τῆς κακουργίας, καὶ τῆς μακροθυμίας σου τὸ πέλαγος ἐξήντληται, τότε χαρμονικῶς ὡς χοῦν ἀπήλασας ἐντεῦθεν, τοῦ Σταυροῦ σου τοὺς σκοτεινομόρφους ἐχθρούς. Ὅθεν σήμερον τὰ εὐχαριστήρια ἀναμνηστικῶς σοι ἀποδιδόντες, γονυκλιτοῦντες κράζομεν.Τὴν ἄμπελόν σου ταύτην τὴν μοναχοτρόφον τήρει θάλλουσαν, καὶ εὐκληματοῦσαν ἐν ἀρεταῖς ἀειζώοις, πρεσβείαις τῆς Παναχράντου Θεοτόκου, καὶ τῶν Ὁσίων Ἀθωνιτῶν, εἰς δόξαν σὴν καὶ αἴνεσιν, Παντοδύναμε.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ἑκατὸν ἔτη βίου ἐλευθέρου, Φιλάνθρωπε,
διανύσαν Ὄρος τοῦ Ἄθω,
εὐγνωμόνως δοξάζει σε.
Διὸ καὶ ἀπελεύθερον βοᾷ,
ὁμόγλωσσον τὴν ἔνθεον φωνήν·
τήρει Δέσποτα ἐκ πάσης ἐπιβουλῆς,
ἐχθροῦ τὴν κληρουχίαν σου·
ὅπως ἀκμάζῃ ἀρεταῖς,
τῆς σῆς Μητρὸς δεήσεσιν,
ἧς περ περίβολος κλεινός,
ἐστὶ καὶ ὀνομάζεται.

Ἀπόλυσις






## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν. Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου, Σωτήρ.

Ἠλέησας ἡμᾶς, Ἰησοῦ πανοικτίρμον,
συντρίψας τὸν ζυγόν, τῆς δουλείας τῆς Ἄγαρ,
καὶ πάλιν τὸ Ὄρος σου, ἀπελεύθερον ἔδειξας.

Ὅθεν σήμερον, εὐχαριστοῦντες βοῶμεν·
τῆς Ἀχράντου σου, Μητρὸς ἁγίαις πρεσβείαις,
τὸν Ἄθω στερέωσον.

Δόξα. Καὶ νῦν, τὸ αὐτό.

Μετὰ τὴν β΄ στιχολογίαν. Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ὥσπερ χοῦν ἐλίκμισας, τοῦ Ὄρους Ἄθω,
τοὺς ἀθέους Δέσποινα, ἀγαρηνοὺς ταῖς σαῖς εὐχαῖς,
καὶ ὁ σταυρὸς ἐθριάμβευσεν,
κατατροπώσας,
σκαιὰν ἡμισέληνον.

Δόξα. Καὶ νῦν, τὸ αὐτό.
Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ.δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐλευθέρους διέπλασας τοὺς βροτούς,
κατ' εἰκόνα τὴν σὴν ἀγαθοπρεπῶς,
ἀλλ' ὅμως δεδούλωνται,
ἑκουσίως τῷ δράκοντι,
ἐξ οὗ βαρυτάτου ζυγοῦ ἠλευθέρωσας,
τῇ οἰκονομίᾳ, τῇ σῇ Πολυεύσπλαγχνε.
Ὅτε δὲ καὶ Ἄθως, πεντακόσια ἔτη,
δεινῶς ᾐχμαλώτισται,
καὶ μεγάλως ὑπέφερε,
τοῖς τῆς Ἄγαρ γεννήμασιν,
ηὐδόκησας Χριστὲ ὁ Θεός,
ἐκδιῶξαι τούτους ὡς ἀθύρματα,
διὸ ὕμνοις τιμῶμεν,
τὴν σὴν ἀγαθότητα.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τῆς δουλείας τὸ σκότος ἐπιπεσόν,
κατεκάλυψεν Ὄρος τὸ φωταυγές,

καὶ Ἄγαρ μισόχριστοι, μοναστὰς ἐτυράννησαν,
Θεοῦ παραχωρήσει, ἀλλ′ οὐκ ἠδυνήθησαν,
ἀφανῖσαι σὸν κλῆρον, ἉγνὴΠαναμώμητε.
Ὅτι σὺ ὑπάρχεις, ἡ θεόθεν προστάτις,
καὶ ἄνασσα Ἄθωνος, φιλοστόργως φροντίζουσα,
καὶ δεινῶν ἀπαλάττουσα, ὡς μήτηρ ἱερὰ μοναστάς,
ὅθεν πάλιν ἔδειξας ἐλεύθερον,
τὸν Περίβολον τοῦτον,
διό σε δοξάζομεν.
Οἱ Ἀναβαθμοί. Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου· Ἐκ νεότητός μου.
Προκείμενον· Μνησθήσομαι τοῦ ὀνόματός σου, ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.
Στίχος· Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου καὶ ἐπιθυμήσει ὁ βασιλεύς τοῦ κάλλους σου.
Εὐαγγέλιον, τὸ Θεομητορικόν. Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα Μαριάμ.
Ὁ Ν΄ ψαλμός, Ἐλέησόν με ὁ Θεός.
Δόξα. Ταῖς τῆς Παναχράντου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
Εἶτα, στιχηρὸν ἰδιόμελον. Ἦχος πλ.β΄.
Στίχ. Ἐλεῆμον, Ἐλέησόν με ὁ Θεός....

Σήμερον ὁ Ἄθως ὁ γηραιός, καὶ ἀείποτε νεάζων, τὰ ἐλευθέρια αὐτοῦ χαρμονικῶς πανηγυρίζων, σὲ δοξάζει Δέσποτα, τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν· ὅτι πρεσβείαις τῆς Πανάγνου σου Μητρός, τῶν ἀσεβῶν τὸ κέρας κατέβαλες, καὶ τοῦ Σταυροῦ σου τῇ χάριτι, τὴν σὴν εἰρήνην ἡμῖν, Πολυέλεε δεδώρησαι.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Ὁ Κανών, οὗ ἡ ἀκροστιχίς:
"Εὐχαριστίας αἶνεσις τῇ Βασιλίσσῃ Ἄθω. Ἀ(θανάσιος)".
Ὠδὴ α΄. Ἦχος πλ.δ΄.Ἁρματηλάτην Φαραώ.

Ἐκραταιώθη τοῦ Σταυροῦ ἡ δύναμις καὶ ἡμισέληνος, ἐκ τοῦ Ὄρους Ἄθω, ὡς φυγὰς ἐλήλαται· διὸ τὰ ἐλευθέρια, φαιδροψύχως τελοῦντες, ὕμνους εὐγνώμονας ᾄδομεν, τῷ παντευεργέτῃ Θεῷ ἡμῶν.

Ὑψαυχενήσασα ἡ Ἄγαρ σήμερον, δεινῶς ἐκπέπτωκεν, καὶ Χριστοῦ δυνάμει, Ἄθωνος δεδίωκται· ὅθεν ζυγὸς συντέτριπται, ὁ βαρὺς τῆς δουλείας, πέντε αἰώνων καὶ ἔπνευσεν, τῆς ἐλευθερίας ὁ ἄνεμος.

Χεῖρας τὰς θείας πρὸς Υἱὸν οὐ πέπαυται, ἀδιαλείπτως ὑψοῦν, ἡ Ἁγνὴ Παρθένος, Ἄθω ἡ Βασίλισσα, αἰτοῦσα τὴν ἐκδίωξιν, ἀσεβῶν τέκνων Ἄγαρ, ἥνπερ ἰδοῦσα δεδώρηται, τῆς ἐλευθερίας τὸ χάρισμα.

Αἰχμαλωσίας ἡ ἀχλὺς ἠφάνισται, ἡ χριστομίσητος, καὶ ἐλευθερίας, ἥλιος ἐπέλαμψεν· ὅθεν τοῦ Ἄθω τρόφιμοι, ἀναπέμπομεν ὕμνους, τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν, ἅμα τῇ ἁγνῇ Θεομήτορι.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ῥυπαρὸν τῆς δουλείας, ἀπεκδυθεὶς ἔνδυμα, Ἄθως τῆς Παρθένου ὁ κλῆρος, λαμπρὰν ἐφόρεσε, στολὴν χριστόπλεκτον, ἐλευθερίας διόπερ, ᾄδει ἐπινίκια, ᾄσματα σήμερον.

Ἱερὸν κέρας ἤρθη, κατ᾽ ἀσεβῶν σήμερον, τὸν ψευδοπροφήτην τιμώντων, καὶ ἐταπείνωσεν, ὀφρύος ἔπαρσιν, τὴν ἐπὶ πέντε αἰῶνας, Ἄθωνα δουλώσασαν, τὸν ὑψικάρηνον.

Σωτηρίας ἡμέρα, καὶ φωταυγὴς ἔλαμψεν, ἐλευθερωθέντος τοῦ Ὄρους, τῆς Θεομήτορος, τὸν Παντοκράτορα, ἱλεωσάσης πρεσβείαις, ὅπως πολυχρόνιον, συντρίψῃ ἔπαρσιν.

Τὰς δεήσεις Ὁσίων, Ἀθωνιτῶν ἤκουσεν, Δίκαιος Κριτὴς καὶ τὴν κρίσιν, αὐτοῦ ἐποίησεν, ὡς χοῦν καὶ ἄχυρα, τοὺς ἀσεβεῖς ἐκδιώξας, καὶ πάλιν ἐλεύθερον, τὸ Ὄρος ἔδειξεν.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Κάθισμα .Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ὡς ἱστὸν τῆς ἀράχνης ζυγὸν διέλυσας,
τῆς δουλείας τοῦ Ἄθω Χριστὲ φιλάνθρωπε,
καὶ παρέδωκας αὐτὸν πανελεύθερον,
τοῖς ἐνταῦθα μονασταῖς, οὓς ἀξίωσον τηρεῖν,
ψυχῶν τὴν ἐλευθερίαν,
ἀπὸ δεινῆς ἁμαρτίας,
ταῖς σῆς Μητρὸς σεπταῖς δεήσεσι.

Δόξα. Καὶ νῦν, τὸ αὐτό.

ᾨδὴ δ΄. Σύ μου ἰσχύς, Κύριε.

Ἰδοὺ φαιδρὰ ἤγγικεν, ἡ πολυπόθητος, ὥρα ὅτε, πάλιν ἠλευθέρωται Ὄρος Θεοῦ, ἐκ τῶν ἀσεβῶν, μετὰ χρόνους πλείστους, καὶ πειρασμοὺς πολεμήτορος· διὸ πανευφροσύνως, τὰς ᾠδὰς τῷ Κυρίῳ, οἱ ἐνταῦθα μονάζοντες ᾄδομεν.

Ἀνατολὴ πέφυκας, φωτὸς ὁ πάροχος, ἔνθεν κόσμος, ὁ διπλοῦς φωτίζεται, καὶ παρὰ σοῦ δίδοται ζωή· ὅθεν τῆς δουλείας, ψυχῶν σωμάτων τὸ ἔρεβος, παρόντος σου διδράσκει, καὶ χαρίτων τὸ φέγγος, καταυγάζει πιστῶν τὰ πληρώματα.

Σὺ ἀληθῶς Δέσποινα, Ὄρους τοῦ Ἄθωνος, μοναζόντων, ἡ ὑπερασπίστρια, μήτηρ τροφός, θεία ἰατρός, ὡς ὁσίῳ Πέτρῳ, τῷ Ἀθωνίτῃ ἐδήλωσας· διὸ ἐλευθερίαν, ἐπανέδωκας τούτοις, ἀναιμάκτως Σεμνὴ Παναμώμητε.

Αἱ φυλακαί, καὶ τὰ μαρτύρια, τῶν βασάνων ἡ πληθὺς αἱ φάλαγγες, αἱ οἰμωγαί, φόροι οἱ βαρεῖς, καὶ αἱ ξιφοτμήσεις, οἱ ποταμοὶ οἱ αἱμάτινοι, τῶν ὧδε μοναζόντων, ἐπλήρωσαν Κυρίου, κατ' ἐχθρῶν τοῦ Σταυροῦ τὸ ποτήριον.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

ᾨδὴ ε΄ .Ἵνα τί με ἀπώσω.

Ἰαχαῖς νικηφόροις, Ἄθωνος οἱ τρόφιμοι καθυπεδέξαντο, τὴν ἐλευθερίαν, μετ' αἰώνων δουλείαν δυσβάστακτον, καί σοι Θεοτόκε, εὐχαριστοῦντες ἀνεβόων· Μῆτερ τήρει τὸ Ὄρος ἀδούλωτον.

Νῦν ἠλάθησαν Ὄρους, τοῦ ψευδοπροφήτου οἱ λατρεύοντες, καὶ Σταυροῦ ἡ πίστις, ἡμισέληνον πόῤῥω ἐδίωξεν· ὅθεν τοῖς πατρῴοις, ἤθεσιν ἐξακολουθοῦντες, ἁγιότητος ἀντιλαβώμεθα.

Ἐλευθέρως βιοῦντες, μὴ καθυπαχθείημεν ἀρχαίῳ δράκοντι, τῷ ἀδιαλείπτως, πολεμοῦντι ὑπούλως καὶ θέλοντι, τοῦ Χριστοῦ χωρίσαι, ἡμᾶς καὶ ὄπισθεν ἀπάξαι, ἑαυτοῦ εἰς αἰώνιον κόλασιν.

Σταυρωθέντες τῷ κόσμῳ, δι' ἀγάπην Δεσπότου ἠλευθερώθημεν, τῆς δουλοπαθείας, ὅθεν πρόσσω χωροῦντες μὴ παύσωμεν· πᾶς γὰρ τῷ ἀρότρῳ, βαλὼν τὰς χεῖρας δεῖ ἀπαύστως, μνημονεύειν δι' ὃ ἐξελήλυθεν.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

ᾨδὴ Ϛ΄. Ἱλάσθητί μοι, Σωτήρ.

Ἱματισμὸν δουλικόν, ἀποδυθεὶς Ἄθως σήμερον, περιεβλήθη στολήν, λαμπρὰν ἐλευθέριον, καὶ ὑμνεῖ τὸν Κύριον, τὸν μεταβαλόντα, εἰς χαρὰν πένθος τὸ χρόνιον.

Στηλογραφίαν φαιδράν, ῥῆξιν ζυγοῦ λογιζόμεθα, τοῦ ἐπὶ πέντε δεινῶς, αἰῶνας κρατήσαντος, Ἄθωνος καὶ μύρια, ἐνεγκόντος πάθη, ἀσεβείας ἐκβλαστήματα.

Τὰ τίμια παρ′ ἡμῖν, σκαιῶς ἐχθροῖς κατῃσχύνθησαν, καὶ πίστις ἡ ἀληθής, ἀεὶ ὠνειδίζετο, δι′ ὑπερηφάνειαν, ἣν Κριτὴς δικαίως, ὥσπερ χοῦν εἰς γῆν συνέτριψεν.

Ηὐφράνθησαν αἱ ψυχαί, Νεομαρτύρων εἰς ἔπακρον, ἰδοῦσαι τῶν ἀσεβῶν, ἐντεῦθεν ἐκδίωξιν, ὑφ′ ὧν πλεῖστα ἔπαθον, καὶ τὸ στέφος δόξης, ἐκ Κυρίου ἐκομίσαντο.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Ζυγὸς ἐτῶν πεντακοσίων ἐῤῥάγη,
καὶ τῆς δουλείας ἠλευθέρωται Ἄθως,
διὸ εὐχαριστοῦντές σοι κραυγάζομεν Χριστέ·
ταῖς τῆς Θεομήτορος, καὶ ὁσίων Πατέρων,
ἱκεσίαις τήρησον, τὸ πανάγιον Ὄρος,
ἐκ πειρασμῶν παντοίων ἀβλαβές,
καὶ Ὀρθοδόξου, ἀσκήσεως στάδιον.

Ὁ Οἶκος

Τῇ Βασιλίδι συμπαθῶν ὁ Ἄθως ἐδουλώθη,
παιδευτικῇ παραχωρήσει τοῦ Θεοῦ,
τοῖς ἀσεβέσι γόνοις τῆς σκοτομόρφου Ἄγαρ,
καὶ ἐπ′ αἰῶνας πέντε στένων ἐβόα μυστικῶς·
ἀπόσεισον, Εὔσπλαγχνε, τῇ πατρικῇ σου ῥάβδῳ,
τὸν ἐπικείμενόν μοι τῆς αἰχμαλωσίας βαρύτατον ζυγόν,
ταῖς ἱκεσίαις ἱλεούμενος τῆς Παναχράντου σου Μητρὸς
καὶ τῆς πληθύος τῶν ἐνταῦθα Ὁσίων ἀσκητῶν.
Τῶν χρόνων δὲ πληρωθέντων, κλίνας ὁ Κύριος εὐήκοον τὸ οὖς,
ὡς χοῦν θαυμαστῶς ἀπεφύσησεν τὴν δυσσεβῆ τυραννίαν,
καὶ τὴν ἐλευθερίαν τῷ Ὄρει ἐπαναδωρησάμενος

ἀφῆκεν αὐτὸ στίβον εὐαγγελικῆς ἁγιότητος,
καὶ Ὀρθοδόξου ἀσκήσεως στάδιον.

Τὸ Συναξάριον

Τῇ Β΄ τοῦ αὐτοῦ μηνός, τὴν ἀνάμνησιν ποιούμεθα τῆς ἀπὸ τοῦ τουρκικοῦ ζυγοῦ ἐλευθερίας τοῦ Ἁγιωνύμου Ὄρους, συντελεσθείσης, χάριτι Θεοῦ καὶ πρεσβείαις τῆς Κυρίας Θεοτόκου, κατὰ τὴν 2αν Νοεμβρίου τοῦ σωτηρίου ἔτους 1912.

Στίχοι

Ζυγὸν δουλείας ἀποσείσας ὁ Ἄθως,
Ὕμνοις γεραίρει τὴν Βασίλισσαν πάντων.
Δευτερίῃ Ἄθως εὐφροσύνως ἄγει ἐλευθέρια.

Ὑπόμνημα

Ὅτε, παιδευτικῇ παραχωρήσει τοῦ Φιλανθρώπου Κυρίου, τὸ ἔνδοξον Βυζάντιον μετὰ χιλιετῆ ἱστορικὴν πορείαν κατελύθη ὑπὸ τῶν βαρβάρων καὶ δυσσεβῶν Τούρκων ἀγαρηνῶν, καὶ ἐπὶ τοῦ τρούλλου τοῦ πανσέπτου ναοῦ τῆς τοῦ Θεοῦ Ἁγίας Σοφίας τὸν τίμιον Σταυρὸν ἀντικατέστησεν ἡ σκαιόμορφος ἡμισέληνος, τότε καὶ τὸ Ὄρος τοῦτο τοῦ Ἄθωνος, τὸ περιφανὲς καὶ ἠγαπημένον Περιβόλιον τῆς Κυρίας Θεοτόκου, ἐδέξατο τὸν τῆς αἰχμαλωσίας δυσβάστακτον ζυγόν, πολλὰ τὰ δεινὰ καὶ τὰς ταπεινώσεις ὑποστὰν κατὰ τὴν σχεδὸν πέντε αἰῶνας διαρκέσασαν δουλείαν παρὰ τῶν λατρευτῶν τοῦ προδρόμου τοῦ ἀντιχρίστου καὶ ψευδοπροφήτου Μωάμεθ. Πληρωθέντος δὲ τοῦ τοιούτου θεοπέμπτου κανόνος, ηὐδόκησεν ὁ τὰ ἡνία τοῦ κόσμου πανσόφως διακρατῶν Δεσπότης Χριστὸς καί, ἱκεσίαις τῆς τε Ἁγνῆς Θεομήτορος καὶ τῶν Ἁγιορειτῶν Ὁσίων Πατέρων, ἀμαχήτως καὶ ἀναιμάκτως διαῤῥήξας τὸν τυραννικὸν ζυγόν, ἀπελίκμισεν ὡς χοῦν πλατειῶν τοὺς δυσσεβεῖς κατακτητὰς ἐκ τοῦ Ἱεροῦ ἡμῶν Τόπου, κηρυχθείσης τῆς περιποθήτου ἐλευθερίας αὐτοῦ, ὑπὸ μοίρας τοῦ ἐνδόξου ἑλληνικοῦ ναυτικοῦ, κατὰ τὴν 2αν Νοεμβρίου τοῦ σωτηρίου ἔτους 1912, ἐν ἐκδηλώσεσιν ἀπεριγράπτου χαρᾶς καὶ δοξολογίας τοῦ Ὀνόματος τοῦ παντευεργέτου καὶ Σωτῆρος ἡμῶν Κυρίου Ἰησοῦ, Ὃν σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ Παναγίῳ Πνεύματι εὐγνωμόνως καὶ φαιδροψύχως

σήμερον δοξάζοντες, αἰτούμεθα τὴν ἄχρι τέλους αἰώνων προστατευτικὴν εὐλογίαν Αὐτοῦ ἐπὶ τὸ Ἅγιον τοῦτο Ὄρος.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς ἀθλήσεως τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων Ἀκινδύνου, Πηγασίου, Ἀφθονίου, Ἐλπιδηφόρου, καὶ Ἀνεμποδίστου.

Στίχοι.

Ἀκίνδυνον πῦρ· τῶν δὲ λοιπῶν τεττάρων,
Οὓς μὲν τὸ πῦρ ἔκτεινεν, οὓς δὲ τὸ ξίφος.
Δευτέρη Ἀφθονίῳ καὶ τέταρσι, πῦρ ἄορ, ἆθλος.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ ἀπὸ τῆς Συγκλήτου βουλῆς Ἅγιοι ξίφει τελειοῦνται.

Στίχοι.

Συγκλητικοὶ ποθοῦντες ἄφθαρτον γέρας,
Συγκλητικὰ τμηθέντες ἀρνοῦνται γέρα.

Οἱ ἅγιοι μάρτυρες Ἀττικός, Εὐδόξιος, Ἀγάπιος, Μαρῖνος, Ὠκεανός, Εὐστράτιος, Καρτέριος, Νικοπολιτιανός, Στυράκιος, Τωβίας καὶ οἱ σὺν αὐτοῖς, πυρὶ τελειοῦνται.

Στίχοι.

Τὸ πῦρ ἀριστεῖς καρτερήσαντες δέκα,
Πρὸς τὴν ἀρίστην λῆξιν ἧκον οἱ δέκα.

Αἱ ἅγιαι μάρτυρες Κυριακή, Δομνίνα καὶ Δόμνα, ξίφει τελειοῦνται.

Στίχοι.

Κυριακή, Δομνίνα καὶ σεπτὴ Δόμνα,
Ὡς σεπτὸν αἱ τρεῖς εἰς ξίφους εὗρον τέλος.

Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρκιανοῦ τοῦ ἐν τῇ Κύρῳ.

Στίχοι.

Χοῦς, Μαρκιανέ, τυγχάνων εἰς χοῦν λύῃ,
Τὸ δόγμα τοῦ πλάσαντος οὐκ ἔχων λύειν.

Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀντωνίου τοῦ ὁμολογητοῦ, ἀρχιεπισκόπου Θεσσαλονίκης.

Στίχοι.

Ποιμὴν φαεινὸς δειχθεὶς Θεσσαλονίκης,
Καὶ ὁμολογητὴς Ἀντώνιος ὤφθη.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Κυπριανοῦ τοῦ ἐν Στοροζένσκ τῆς Καρελίας, τοῦ πρῴην λῃστοῦ.

Στίχοι.

Ἅμα τῷ Ληστῇ Χριστῷ συσταυρωθέντι
Ὁ Κυπριανὸς Παράδεισον ληστεύει.

Ταῖς τῆς Παναχράντου σου Μητρὸς καὶ πάντων σου τῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Παῖδες ἑβραίων.

Βάθος κριμάτων τοῦ Κυρίου, τίς ἐπέγνωκε, δι᾽ ὧν τηρεῖ τὸν κόσμον; ὅθεν ῥάβδον ζυγοῦ, πικρᾶς αἰχμαλωσίας, τῷ Ἄθω παρεχώρησεν, εἰς παιδείαν μετανοίας.

Αἵμασι τῶν Νεομαρτύρων, ὡς πεπλήρωται, ὁ ποταμὸς Κυρίου, Ἄγαρ πλάνην σκαιάν, ὡς Φαραὼ τὸν πάλαι, πνίξας τῷ Ὄρει δέδωκε, ποθητὴν ἐλευθερίαν.

Στόματα ἤνοιξαν ἀφρόνως, οἱ κακόπιστοι υἱοὶ τῆς γραίας Ἄγαρ, καὶ ποῦ ἔστιν ὑμῶν, ἡ πίστις ἀνεβόων, ἡ ἀληθὴς Ὀρθόδοξοι, ἧς ἰσχύει ἡμετέρα;

Ἴδε Υἱὲ ἠγαπημένε, τὴν ἀσέβειαν, ἐχθρῶν τοῦ ἐμοῦ Κλήρου, καὶ ἐξ ὕψους αὐτούς, κατάγαγε ταχέως, ἡ Πάναγνος ἱκέτευε, τὸν πανάγαθον Δεσπότην.

Καταβασία. Οὐκ ἐλάτρευσαν.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Λύκοι βαρεῖς εἰσήλασαν, καὶ δεινῶς ἐλυμήναντο, Ὄρος τὸ τοῦ Ἄθω, ἐπὶ πλείστοις ἔτεσι, μεγάλως καυχώμενοι, ψευδοπροφήτου ἔκγονα, καὶ εὐκληματοῦσαν, μοναστῶν πολιτείαν, ἐν ῥάκεσι δουλείας, ἐνέδυσαν βαρείας, Τριάδος βλασφημοῦντες, τὴν πίστιν τὴν ἁγίαν.

Ἰδὼν τοῦ Ἄθω κάκωσιν, καὶ τυράννων τὴν ἔπαρσιν, καταβλασφημούντων, ἱερὰ καὶ ὅσια, τῆς πίστεως Δέσποτα, ἣν κόσμῳ ἀπεκάλυψας, καταλυτικὴν ἤγειρας χεῖρα ὀργῆς

σου, καὶ τούτους ὥσπερ κόνιν, ἐν δέοντι τῷ χρόνῳ, ἐδίωξας ἐντεῦθεν, δικαιοκρῖτα Σῶτερ.

Σταυρὸς ἴσχυσε σήμερον, ἡμισέληνος πέπτωκεν, καὶ τὸ Ὄρος Ἄθω, αὖθις ἠλευθέρωται, ἀσέβεια πέφευγεν, ἡ πίστις πάλιν ἕστηκεν, οἱ ἐν στεναγμοῖς ἐσθίοντες τὸν ἄρτον, ἐχάρησαν ὁρῶντες, τοὺς τῆς Ἄγαρ τροφίμους, φεύγοντας ἐκ τοῦ κλήρου, τῆς Παναχράντου Κόρης.

Στόμασιν ὕμνους ᾄδομεν, τὰς ψυχὰς εὐφραινόμεθα, καὶ ἐκ τῆς καρδίας, εὔοσμον θυμίαμα, τῷ Λυτρωτῇ προσφέρομεν, ὅτι καὶ πάλιν δέδωκε, τὴν ἐλευθερίαν, τῷ τοῦ Ἄθωνος Ὄρει, ἔνθαπερ ἐν ἀσκήσει, πορευόμεθα πάντες, ὑπὸ τῆς Θεοτόκου, τὴν παναγίαν σκέπην.

Καταβασία. Παῖδας εὐαγεῖς.

ᾨδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Ηὐφράνθη τῶν Ὁσίων Ἀθωνιτῶν, ὁ χορὸς θεωρήσας ἐλεύθερον, ἐκ τοῦ ζυγοῦ, τοῦ πολυχρονίου ἀγαρηνῶν, τὸ Ὄρος ὃ ἠγάπησας, οὐρανῶν βασίλισσα Μαριάμ, αἰτησαμένη τοῦτο, ἐκ σοῦ ἠγαπημένου, Υἱοῦ ὡς κλῆρον ἴδιον.

Αἰγύπτου τυραννίας ὁ Ἰσραήλ, ἠλευθέρωται ἔχων ἐξάρχοντα τὸν Μωϋσῆν, Ἄθως δὲ ἀπέσεισε τὸν ζυγόν, αἰχμαλωσίας χάριτι, τοῦ ἐλευθερώσαντος παγγενῶς, ἡμᾶς τοῦ διαβόλου, Χριστοῦ τοῦ ζωοδότου, ταῖς ἱκεσίαις Θεομήτορος.

Θαυμάζοντες τὸ μέγεθος τῆς πολλῆς, πρὸς τὸ Ὄρος προνοίας σου Δέσποινα ἱκετικῶς, κλίναντες τὰ γόνατα τῆς ψυχῆς, ἕως ὁ κόσμος ἔσεται, φύλαττε δεόμεθα ἀσινές, τοῦτο ἐξ ἐπηρείας, ἐχθροῦ τοῦ παγκακίστου, καὶ ἀρεταῖς κομῶν πρεσβείαις σου.

Ὡς ὄντες ἀπελεύθεροι τοῦ Χριστοῦ, τῷ λουτρῷ τοῦ ἁγίου βαπτίσματος, καὶ μετ᾽ αὐτό, Σχήματος λαβόντες τὴν

δωρεάν, Πανάχραντε δεόμεθα, πάσης ἁμαρτίας θραῦε ζυγόν, τὸν θέλοντα Κυρίου, ἡμᾶς ἀποχωρίσαι, καὶ ὑποτάξαι τῷ ἀλάστορι.

Ἁγίασον Παρθένε τέκνα τὰ σά, τὰ οἰκοῦντα τὸ Ὄρος τοῦ Ἄθωνος, καὶ δὸς ἡμῖν, αὔξησιν ἀγάπης πρὸς τὸν Θεόν, καὶ Παραδείσου ἄνοιξον, πύλας ταῖς πανσέπτοις σου προσευχαῖς, ἐν ᾧ Χριστοῦ γλυκέος, σὺν πᾶσι τοῖς Ἁγίοις, ἀδιαλείπτως ἀπολαύσωμεν.

Καταβασία. Ἅπας γηγενής.

Ἐξαποστειλάρια
Ἦχος β΄. Τοῖς Μαθηταῖς συνέλθωμεν.
Ὄρος σεπτὸν τοῦ Ἄθωνος, λυτρωθὲν τῆς δουλείας, δοξάζει σε Πανάμωμε, καὶ θερμῶς ἐξαιτεῖται, τὰς μητρικάς σου δεήσεις, καὶ τὴν θείαν σου σκέπην, ὅπως οἱ ἐνασκούμενοι, ἐν αὐτῷ φιλοθέως καὶ εὐλαβῶς, βίον περαιώσωσι καὶ τῆς ἄνω, Σιὼν πολῖται γένωνται, σὺν χοροῖς τῶν Ἁγίων.

ἕτερον. Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.
Ἐλευθερίας ὁ Ἄθως, τυχὼν εὐχαῖς τῆς Παρθένου, εὐγνωμονεῖ καὶ δοξάζει, Χριστὸν σταυροῦ τῇ δυνάμει, σῴσαντα γένος ἀνθρώπων, τῆς διαβόλου δουλείας.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ
Ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος πλ.δ΄. Ὢ! τοῦ παραδόξου θαύματος.

Εὐγνωμοσύνης ὑπόθεσις, εὐχαριστίας ᾠδαί, ἡ παροῦσα πανήγυρις, ἐν ᾗ τὴν Πανάχραντον, Θεοτόκον δοξάζομεν· ὅτι ὡς πάλαι, καὶ νῦν ἀπέδειξε, τὴν πρὸς τὸ Ὄρος τοῦτο τοῦ Ἄθωνος, θείαν ἀντίληψιν, Ἄγαρ τὰ βλαστήματα, ὥσπερ καπνόν, παντελῶς διώξασα, καὶ ἀφανίσασα.

Τυραννικῶς ἐπεκράτησεν, παραχωρήσει Θεοῦ, ἀσεβὴς ἡμισέληνος, Ὄρους τούτου Ἄθωνος, καὶ δεινῶς

ἐταπείνωσε, τῆς Θεοτόκου κλῆρον τὸν τίμιον, τὸν πεποιθότα, ἐπὶ τὸν Κύριον, Ὅστις ἐλέπτυνεν, ἐν θυμῷ τὴν καύχησιν Ἄγαρ γραός, ὡς κέδρον λιβάνιον, κατὰ τὸν θεῖον Δαβίδ.

Ζυγὸς δουλείας συντέτριπται, ἐλευθερία κρατεῖ, μετὰ χρόνων περίοδον, ἐν τῷ Ὄρει Ἄθωνος, καὶ ἡ Παναμώμητος, μητρικῶς τούτου κήδεται, καθάπερ Πέτρῳ σαφῶς ὑπέσχετο, καὶ πολυτρόπως ἐν ἔργοις δείκνυσιν· ὅθεν πλουτήσαντες, Ταύτην ὡς ὑπέρμαχον ἡμῶν τροφόν, βίον ἐπιδείξωμεν, τὸν συμβατὸν μονασταῖς.

Εὐχαριστοῦντές σοι Δέσποτα, ἱκετικῶς τὴν φωνήν, ἀνυψοῦμεν δεόμενοι, ὅπως γένῃ ἵλεως, συγχωρῶν ἁμαρτήματα, ψυχῶν τῶν ὅσοι πάλαι συνέδραμον, ὅπως τὸ Ὄρος δειχθῇ ἐλεύθερον. Ὅθεν Φιλάνθρωπε, ὡς γινώσκων ἄριστα τῶν γηγενῶν, πάντων τὴν ἀσθένειαν, σπλάγχνα σου ἄνοιξον.

Δόξα. Καὶ νῦν. Ἦχος ὁ αὐτός.

Ὡς σκεύη κεραμέως συνέτριψεν ὁ Κύριος, τῶν ἀσεβῶν τὴν πολυχρόνιον τυραννίαν, ὡς ἄχυρον διέλυσε τὰ τῆς δουλείας δεσμά, τὴν ὑψηλόφρονα γνώμην τῶν ἀσεβῶν ἀγαρηνῶν ταπεινώσας. Τὰς γὰρ φωνὰς τῶν ἀδικουμένων ἐπακούσας, καὶ τῶν αἱμάτων τὴν ἔκχυσιν ἐκδικηθείς, αὖθις ἐλεύθερον ἔδειξε τὸ Ὄρος τοῦτο, τῆς Παναχράντου Θεοτόκου τὸν περίδοξον καὶ ἠγαπημένον κλῆρον. Ὅθεν εὐγνωμονοῦντες ἐκ καρδίας, δοξάζομεν Αὐτοῦ τὸ μέγα ἔλεος ἐκβοῶντες·Τήρησον Δέσποτα τὸν Τόπον τοῦτον ἐργαστήριον ὁσιότητος, καὶ ἡμᾶς ἀνάδειξον μιμητὰς τῶν ἐν αὐτῷ ἀσκητικῶς εὐαρεστησάντων, ὡς υἱοὺς τῆς ἀληθοῦς ἐλευθερίας, ἣν ἡμῖν ἐχαρίσω διὰ τῆς φρικτῆς Οἰκονομίας σου.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις τοῦ Ὄρθρου

www.tezaurliturgic.ro

Εἰς τὴν Θείαν Λειτουργίαν, Τυπικὰ καὶ εἰς τοὺς Μακαρισμοὺς ἡ γ΄ καὶ ς΄ ᾠδή.

Ἀπόστολος

Πρὸς Γαλάτας ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα(4,22-5,1)

Ἀδελφοί, Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. Ἀλλ' ὁ μὲν ἐκ τῆς παιδίσκης κατὰ σάρκα γεγέννηται, ὁ δὲ ἐκ τῆς ἐλευθέρας διὰ τῆς ἐπαγγελίας. Ἅτινά ἐστιν ἀλληγορούμενα. Αὗται γάρ εἰσι δύο διαθῆκαι, μία μὲν ἀπὸ ὄρους Σινᾶ, εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἄγαρ· Τὸ γὰρ Ἄγαρ Σινᾶ ὄρος ἐστὶν ἐν τῇ Ἀραβίᾳ, συστοιχεῖ δὲ τῇ νῦν Ἱερουσαλήμ, δουλεύει δὲ μετὰ τῶν τέκνων αὐτῆς· ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν. γέγραπται γάρ· εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα. Ἡμεῖς δέ, ἀδελφοί, κατὰ Ἰσαὰκ ἐπαγγελίας τέκνα ἐσμέν. Ἀλλ' ὥσπερ τότε ὁ κατὰ σάρκα γεννηθεὶς ἐδίωκε τὸν κατὰ πνεῦμα, οὕτω καὶ νῦν. Ἀλλὰ τί λέγει ἡ γραφή; ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς· οὐ μὴ γὰρ κληρονομήσει ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας. Ἄρα, ἀδελφοί, οὐκ ἐσμὲν παιδίσκης τέκνα, ἀλλὰ τῆς ἐλευθέρας. Τῇ ἐλευθερίᾳ οὖν, ᾗ Χριστὸς ἡμᾶς ἠλευθέρωσε, στήκετε, καὶ μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε.

καὶ τῆς Θεοτόκου·

Πρὸς Φιλιππησίους.

Ἀδελφοί, Τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ...

(τῆς 15ης Αὐγούστου).

Εὐαγγέλιον

Ἐκ τοῦ κατὰ Ἰωάννην(8,31-38)

Εἶπεν ὁ Ἰησοῦς πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μού ἐστε, καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς. Ἀπεκρίθησαν πρὸς αὐτόν·

Σπέρμα Ἀβραάμ ἐσμεν καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε. Πῶς σὺ λέγεις ὅτι ἐλεύθεροι γενήσεσθε; Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστιν τῆς ἁμαρτίας· ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα, ὁ υἱὸς μένει εἰς τὸν αἰῶνα. Ἐὰν οὖν ὁ Υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ὄντως ἐλεύθεροι ἔσεσθε. Οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε, ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι, ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν. Ἃ ἐγὼ ἑώρακα παρὰ τῷ Πατρὶ λαλῶ·καὶ ὑμεῖς οὖν ἃ ἠκούσατε παρὰ τοῦ πατρὸς ὑμῶν ποιεῖτε.

καὶ τῆς Θεοτόκου, τῆς Μεγάλης Παρακλήσεως
Τω καιρῷ ἐκείνῳ, Ἀναστᾶσα Μαριάμ...

Κοινωνικόν. Ποτήριον σωτηρίου λήψομαι καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Ἀλληλούϊα.

Μεγαλυνάρια

Χαίρει Ὄρος Ἄθωνος τὸ σεπτόν, τῆς ἐλευθερίας,
ἀπολαῦσαν τῆς ποθητῆς, καὶ Χριστὸν Σωτῆρα, δοξάζει
εὐγνωμόνως, τὸν ἐκ τῆς ἁμαρτίας, ἀνθρώπους σῴσαντα.

Χαῖρε Θεονύμφευτε Μαριάμ, Βασίλισσα Ἄθω, ὅτι οὗτος
μετὰ μακρούς, χρόνους τυραννίας, ταῖς μητρικαῖς εὐχαῖς
σου, ἐκ τῆς δουλείας Ἄγαρ, ἀπηλευθέρωται.

Σμῆνος τῶν Ὁσίων Ἀθωνιτῶν, σὺν τῇ Θεοτόκῳ, ἱκετεύσατε
τὸν Χριστόν, ὅπως εἰς αἰῶνας, ἐλεύθερον τηρήσῃ, ἐκ
πάσης ἐπηρείας, Ὄρος τὸ Ἅγιον.

Στίχοι
Ἄθωνα τὸν σόν, Κυρία Θεοτόκε,
Τήρει πανελεύθερον εἰς τοὺς αἰῶνας.



www.tezaurliturgic.ro

Συνετέθη, σὺν Θεῷ ἁγίῳ, ἡ παροῦσα εὐχαριστήριος Ἀκολουθία ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας, Ἁγίου Ὄρους Ἄθω, τῇ 29. 9. 2012.